# TEZAUR LITURGIC

## 20 FEBRUARIE

# PARACLISUL SF.IERARH LEON, EPISCOPUL CATANIEI SICILIEI

ATENA,2020


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 20 ΦΕΒΡΟΥΑΡΙΟΥ
# ΛΕΩΝ ΚΑΤΑΝΗΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

Ὁ Ἱερεὺς ἄρχεται τῆς Παρακλήσεως μὲ τὴν δοξολογικήν ἐκφώνησιν:

*Εὐλογητὸς ὁ Θεός ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων.*

Ὁ χορός: *Ἀμήν.*

Ἤ μὴ ὑπάρχοντος Ἱερέως, ἡμεῖς τό:

*Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς, Ἀμήν.*

*Ψαλμός ρμβ’ (142).*

Καί εὐθύς ψάλλεται τετράκις ἐξ’ ὑπαμοιβῆς, μετά τῶν οἰκείων στίχων:

*Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.*

Στίχ. α’. *Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος Αὐτοῦ.*

Στίχ. β’. *Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τό ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.*

Στίχ. γ’. *Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.*

*Εἶτα τὸ τροπάριον.*
*Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς τῶν Πατέρων ἀκροθίνιον Λέον, καὶ εὐσεβείας ὑψηλότατον ὄρος, τιμῶμέν σε μακάριε ἐν πίστει θερμῇ· ὅθεν ἀεὶ πρέσβευε, λυτρωθῆναι κινδύνων, τοὺς πόθῳ προσιόντας νῦν, δραστικῇ σου πρεσβείᾳ, σὲ γὰρ προστάτην ἔχομεν σοφέ, καὶ πρὸς Δεσπότην, μεσίτην θερμότατον.

*Δόξα.*

Ὡς καθελόντα τῶν δαιμόνων τὰ θράση, καὶ μαγγανείας καταργήσας τὸ σκότος, τὰ νέφη τῆς κακίας ἀποδίωξον, Λέον θεοκόσμητε, ἐξ ἀθλίας ψυχῆς μου, θείαις κατακόσμησον, ἀρεταῖς σαῖς πρεσβείαις, ὅπως ἐν πίστει πόθῳ τε ἀεί, σὸν φωτοφόρον, γεραίρω μνημόσυνον.

*Καὶ νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ Σοῦ, Σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ψαλμός ν’ (50).*

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς: *Λέοντος νοητοῦ, ῥῦσαί με, Λέον μάκαρ. Ἐφρ*(αίμ)

*ᾨδὴ α΄. Ἦχος πλ. Δ΄. Ὑγρὰν διοδεύσας.*

Λεόντων κακίαν τῶν νοητῶν, διάλυσον Πάτερ, ἀθυμίαν τε πειρασμῶν, τῶν πόθῳ καὶ πίστει προσιόντων, τῇ πρὸς Χριστὸν ἱκεσίᾳ σου πάντοτε.

Ἐλέους τοῦ θείου μυσταγωγός, ἀξίωσον Πάτερ, ταῖς πρεσβείαις σου πρὸς Θεόν, τυχεῖν με ἀφέσεως πταισμάτων, καὶ λυτρωθῆναι δεινῶν περιστάσεων.

Ὁ βίος σου Πάτερ φῶς νοερόν, αὐγάζει ὢ Λέον, τὴν εὐσέβειαν τοῖς πιστοῦς, καὶ νέφη ἀγνοίας ἀπελαύνει, τῶν ἀνυμνούντων ἐν πόθῳ τὴν μνήμην σου.

*Θεοτοκίον.*

Ναὸς χρηματίσας τοῦ Πλαστουργοῦ, Θεόνυμφε Κόρη, καὶ δοχεῖον θείου Φωτός, καταύγασον δέομαι λιταῖς Σου, τὴν σκοτισθεῖσαν καρδίαν μου πάθεσιν.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τῆς Κατάνης ὁ θεῖος καὶ κραταιὸς πρόβολος, Λέον σὺ ὑπάρχεις ἀξίως· ὅθεν βοῶμέν σοι· ταύτην τὴν ποίμνην σου, ἐνεγκαμένην σε πρέσβυν, Πάτερ διαφύλαξον, ταῖς ἱκεσίαις σου.

Οὐρανίων χαρίτων σὺ γεγονὼς μέτοχος, τῇ θεοπρεπεῖ σου ἀσκήσει· ὅθεν μακάριε, χάριν προσείληφας, παρὰ Κυρίου παρέχειν, πᾶσιν τὰ ἰάματα, τοῖς δεομένοις σου.

Σὲ ποιμένα καὶ ῥύστην καὶ ἀρωγὸν ἔχοντες, πάσης ἐπηρείας δαιμόνων, θᾶττον ῥυσθείημεν, αὕτη ἡ πόλις σου, καὶ οἱ θερμῶς Σε τιμῶντες, Λέον παμμακάριστε, τῇ ἱκεσίᾳ σου.

*Θεοτοκίον.*

Νοσημάτων παντοίων τῶν τῆς ψυχῆς ἄχραντε, καὶ σωματικῶν ἀλγηδόνων ῥῦσαι πρεσβείαις Σου, τοῖς μεγαλύνουσι, ἐν ἀδιστάκτῳ καρδίᾳ, τὸν θεοπρεπέστατον, ἅγιον τόκον  Σου.

Διάσωσον, θαυματουργὲ λεωντώνυμε θεοφόρε, πάσης νόσου καὶ πειρασμῶν ταῖς πρεσβείαις σου, τοὺς ὁλοθύμῳ καρδίᾳ σοι προσιόντας

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ὁ βίος ὁ σὸς ὡς δρόσος ἐπουράνιος, αὐχμώσαις ψυχαῖς ἐδείχθη θείῳ Πνεύματι· ἀλλ᾽ ὦ Λέον θεόσοφε, τὰς καρδίας ἡμῶν καταδρόσισον, τῇ ἐπομβρίᾳ τῆς θείας σου χάριτος, δεινῶς φλεγομένας ἐν τοῖς πάθεσιν.

*Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.*

Ὁ ποιμὴν ὁ φιλόστοργος, καὶ τῆς Ἐκκλησίας στῦλος ἀκράδαντος, εὐσεβείας ὁ διδάσκαλος, Λέων λεωντώνυμος ὑμνείσθω μοι.

Ἡ Κατάνη γεραίρουσα, τὴν σὴν θείαν μνήμην ἐνθέοις ᾄσμασι, τῶν θαυμάτων σου τὸ πέλαγος, Λέον ἐξυμνεῖ εἰς κόσμον ἅπαντα.

Τῆς κακώσεως σώματος, καὶ δυσειδεστάτης ψυχῆς σκοτώσεως, ταῖς πρεσβείαις φωτοφόροις σου, Λέον ἀξιάγαστε ἀπάλλαξον.

*Θεοτοκίον.*

Ὁλοψύχως πανάμωμεν, ἔδραμον ὁ δοῦλος τῇ θείᾳ σκέπῃ Σου, μετανοίᾳ με καταύγασον, καὶ τὸν δυσαθλῆ κακίας ῥῦσαί με.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὕμνους σοι σοφέ, μετὰ πόθου Λέον Ὅσιε, ἡ σὴ ποίμνη ἀναγράφει ἱερῶς, καὶ τῆς θείας βοηθείας ἐξαιτεῖται νῦν.

Ῥᾶνον ἐφ' ἡμᾶς, τὰ ἐλέη Σου φιλεύσπλαγχνε, καὶ καταύγασον φωτί Σου νοερῷ, ἱκεσίαις τοῦ Σοῦ Λέοντος ψυχὰς ἡμῶν.

Ὕψωσον ἡμῶν, πρὸς ἀγάπησιν τοῦ Κτίσαντος, τὰς ἐννοίας τῶν ὑμνούνων σε σοφέ, καὶ ταπείνωσιν παράσχου ταῖς ψυχαῖς ἡμῶν.

*Θεοτοκίον.*

Σῶσαι βουληθείς, ὁ φιλάνθρωπος τὸν ἄνθρωπον, τὴν ἁγίαν Σου κατῴκησεν νηδύν, καὶ Υἱός Σου Παναγία ἐχρημάτισεν.

*ᾨδὴ στ΄. Τὴν δέησιν.*

Ἁπάντων, τῶν συμφορῶν ῥῦσαι Λέον, τοὺς πρὸς σὲ ἀπὸ ψυχῆς ἀφορῶντας, καὶ εὐλαβῶς, ἐν θερμῇ τῇ καρδίᾳ, τῇ σῇ εἰκόνι προστρέχοντας πάντοτε, ἀπάλλαττε παντὸς δεινοῦ, θεοδόξαστε Πάτερ δεόμεθα.

Ἰδοὺ νῦν, ἡ σὴ Κατάνη προσφεύγει, καὶ προσπίπτει καὶ βοᾷ μετὰ πόθου, μὴ διαλλίπῃς ἀεὶ προστατεύων, ὡς ποιμενάρχης ἡμῶν θαυμαστότατος, θείας αὐτῆς ἐπισκοπῆς, ἱερώτατε Λέον δεόμεθα.

Μεγάλα, καὶ ἀληθῶς ἐξαίσια, κατορθώματα εἰργάσω θεόφρον, τοῦ γὰρ δεινοῦ, καὶ ἀλλόφρονος μάγου, Ἡλιοδώρου μαγείας κατήργησας, καὶ τοῦτον θείᾳ σου εὐχῇ, δημοσίως κατέκαυσας Ὅσιε.

*Θεοτοκίον.*

Ἐπάνοδος, πρὸς τὴν ἀρχαίαν εὔκλειαν, τοῦ πεσόντος ἀνεδείχθης ἀνθρώπου, καὶ ἐκ φθορᾶς, πρὸς ἀπάθειαν πάντας, διαβιβάσας τῷ τόκῳ Σου ἄχραντε, ὡς ἐκβλαστήσασα ἡμῖν, ἀφθαρσίας τὸν στάχυν τὸν πέπειρον.

Διάσωσον, θαυματουργὲ λεοντώνυμε θεοφόρε, πάσης νόσου καὶ πειρασμῶν ταῖς πρεσβείαις σου, τοὺς ὁλοθύμῳ καρδίᾳ σοι προσιόντας

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.*

Ὡς Ἱεράρχης καὶ θύτης τοῦ Πνεύματος, ὡς πρεσβευτὴς πρὸς Χριστὸν Λέον ἔνθερμος, τῷ Δεσπότῃ τῶν ὅλων ἱκέτευε, ἡμῖν διδόναι πταισμάτων συγχώρησιν, καὶ λύσιν παντοίων περιστάσεων.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ.: *Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οι κατοικοῦντες τῇ οικουμένῃ.*

*Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ἰωάννην. (Κεφ. Ι', 9-16).*

Εἶπεν ὁ Κύριος· ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ· ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων· ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων. ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν, καθὼς γινώσκει με ὁ πατὴρ κἀγὼ γινώσκω τὸν πατέρα, καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης· κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι, καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δόξα: *Ταῖς τοῦ Ἱεράρχου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Στ.: *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Κόσμος ἐνθεώτατος, τῆς Ἐκκλησίας ἐδείχθης, Λέον ἱερώτατε, καὶ ταύτην ἐκόσμησας θείῳ Πνεύματι· ᾧ καὶ νῦν φώτισον, ἡμῶν τὰς καρδίας, ἐναρέτως πολιτεύεσθαι, καὶ ἅπαν σκάνδαλον, ἐκ τοῦ πονηροῦ ἀποτρέπεσθαι· ἐμμένειν δὲ ἀσάλευτον, τοῦτόν σου τὸν οἶκον εὐδόκησον, καὶ πλήρου παμμάκαρ, αἰτήματα τῶν πίστει καὶ σπουδῇ, τῶν ἐν αὐτῷ προσιόντων σοι, θείαις ἱκεσίαις σου.

*Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Λέων ὄντως ἐφάνης καταῤῥάσσων βελίαρ τὰ μηχανεύματα, καὶ πάντων τὰς καρδίας, φωτίζεις ταῖς εὐχαῖς σου, τῶν βοώντων Θεῷ ἡμῶν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν τῇ σῇ ποιμανσίᾳ τῆς Κατάνης ἡ ποίμνη καυχᾶται Ὅσιε, καὶ πᾶσα Σικελία, πιστῶς σοι καταφεύγει, καὶ βοᾷ μετὰ πίστεως· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὡς ἀστὴρ σελασφόρος λεοντόψυχε Πάτερ τῶν εὐφημούντων σε, καὶ πίστει ἐκτελούντων, πανήγυριν σὴν θείαν, τὰς ψυχὰς καταλάμπρυνον, καὶ ἀνυμνούντων ἀεί, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ναὸς ἔμψυχος ὤφθης τοῦ παντάνακτος Λόγου Θεογεννήτρια, καὶ πύλη σωτηρίας, τῶν πόθῳ Σοι Παρθένε, ἐκβοώντων ἑκάστοτε· χαῖρε ὑψίστου Θεοῦ, κατοίκησις καὶ θρόνος.

*Ὠδὴ η΄. Τὸν Βασιλέα.*

Μέγιστον θαῦμα, Λέον οἱ πάντες ἰδόντες, Ἡλιόδωρον πυρὶ κατεκαυμένον, ὕμνησαν ἐνθεώς, τὸν Κύριον τῆς δόξης.

Ἀῤῥωστημάτων, σβέσον τὸν ἄσπετον φλόγα, θεοδόξαστε τῶν πόθῳ ἐκζητούντων, τὴν σὴν ταχυτάτην, ἐν πᾶσι προστασίαν.

Κόσμον ἐκ πλάνης, καὶ τῆς δεινῆς ἀπιστίας, ἐλευθέρωσον δυνάμει πρεσβειῶν σου, καὶ θείας σοφίας, ἀξίωσον σοὺς δούλους.

*Θεοτοκίον.*

Ἄχραντε Μῆτερ, καὶ ἀπειρόγαμε Κόρη, πόῤῥῳ δίωξον ἐκ τῆς ἐμῆς καρδίας, τοῦ ἀνθρωποκτόνου, τὰς προβολὰς καὶ δόλους.

*Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ῥοαῖς τῶν σῶν θαυμάτων, ἔπλησας θεόφρον, τῆς οἰκουμένης ἁπάσης τὸ πλήρωμα, καὶ τῶν πιστῶν τὰς καρδίας, Λέον ἐστήριξας.

Ἐπίσκεψαι ὦ Λέον, σὸν δοῦλον ἀνυμνοῦντα, καὶ ταῖς πρεσβείαις σου Πάτερ καταύγασον, τῆς σκοτισθείσης καρδίας μου αἰσθητήρια.

Φωτός σου ταῖς ἀκτῖσι, διάλυσον τὰ νέφη, τῶν πειρασμῶν καὶ σκανδάλων τοῦ ὄφεως, ὦ λεωντώνυμε Πάτερ, ἵνα γεραίρω σε.

*Θεοτοκίον.*

Ῥωννύμενος Σῷ σθένει, τῆς Σῆς προστασίας, τῶν παγκακίστων δαιμόνων ῥυσθήσομαι, καὶ ἐν ἡμέρᾳ ἐτάσεως λυτρωθήσομαι.

*Μεγαλυνάρια.*

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Χαίροις τῆς Κατάνης σοφὸς ποιμήν, καὶ τῆς Σικελίας παμφαέστατος ὁδηγός· χαίροις τῶν τιμώντων, τὴν ἔνθεόν σου μνήμην, προστάτης καὶ θερμότατον καταφύγιον.

Χαίροις τῆς Ῥαβέννης θεῖος βλαστός, ὁ φοίνιξ Κατάνης, ὁ ὑψίκομος ἀληθῶς· χαίροις εὐσεβείας, ὁ θεῖος ὑποφήτης, ἐν ἔργῳ τε καὶ λόγῳ, Λέον μακάριε.

Τὸν ἐκ τῆς Κατάνης ὡς παμφαή, λάμψαντα ἀστέρα, καὶ φωτίσαντα θαυμαστῶς, ἀρετῶν τῷ φέγγει, θαυμάτων τε ἀκτῖσιν, Λέοντα θεοφόρον, ὕμνοις τιμήσωμεν.

Πάσης ἐπηρείας δαιμονικῆς, ψυχοφθόρου πάθους, καὶ σκανδάλων τοῦ πονηροῦ, ἀπάλλαξον Λέον σαῖς πρεσβείαις, καὶ τὴν ὑγείαν τοῖς πάσχουσι δώρησαι.

Πρέσβευε ἀπαύστως Λέον σοφέ, ὑπὲρ τῶν τιμώντνω, τὴν σὴν μνήμην τὴν ἱεράν, καὶ τοῖς προσιοῦσι, ἐν τῷ

σεπτῷ ναῷ σου, δίδου πλουσιοδώρως, θεῖα δωρήματα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Τό Τρισάγιον καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.*

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί…*

Κύριε ἐλέησον ἡμᾶς, ἐπί Σοὶ γὰρ πεποίθαμεν. Μή ὀργισθῇς ἡμῖν σφόδρα, μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

*Καί νῦν…*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσομεν, ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἶτα ὁ Ἱερεύς, τὴν Ἐκτενῆ Δέησιν, ἡμῶν ψαλλόντων τό λιτανευτικόν· Κύριε ἐλέησον. Ὑπὸ τοῦ Ἱερέως Ἀπόλυσις. Καὶ τῶν Χριστιανῶν ἀσπαζομένων τὴν Εἰκόνα καὶ χριομένων δι’ ἁγίου ἐλαίου, ψάλλονται τὰ παρόντα Τροπάρια: Ἦχος β’. Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας, τοὺς προστρέχοντας πιστῶς, τῇ σῇ πρὸς Χριστὸν μεσιτείᾳ, Λέον μακάριε, πάσης ἀπολύτρωσαι, ὀργῆς καὶ θλίψεως, καὶ πταισμάτων συγχώρησιν, δοθῆναι δυσώπει, καὶ βίου διόρθωσιν, καὶ θεῖον ἔλεος, ὅπως, ἐναρέτοις ἐν ἔργοις, ζήσαντες ζωῆς τῆς ἀλήκτου, μετὰ τέλος μέτοχοι γενώμεθα.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Δι' εὐχῶν.*

